ἐπὶ οἰκίαν ποθέν· καὶ ἐκ τοῦ δίφρου ἐκβαλόντες, ἐπὶ τὴν ἐκκλησίαν
ᾗ ἐπώνυμον Καισάριον συνέλκουσιν· ἀποδύσαντές τε τὴν ἐσθῆτα,
ὀστράκοις ἀνεῖλον· καὶ μεληδὸν διασπάσαντες, ἐπὶ τὸν καλούμενον
Κιναρῶνα τὰ μέλη συνάραντες πυρὶ κατηνάλωσαν· τοῦτο οὐ μι-
κρὸν μῶμον Κυρίλλῳ καὶ τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ εἰργάσατο·
ἀλλότριον γὰρ παντελῶς τῶν φρονούντων τὰ Χριστοῦ, φόνοι καὶ μάχαι
καὶ τὰ τούτοις παραπλήσια· καὶ ταῦτα πέπρακται τῷ τετάρτῳ
ἔτει τῆς Κυρίλλου ἐπισκοπῆς, ἐν ὑπατείᾳ Ὁνωρίου τὸ δέκατον καὶ
Θεοδοσίου τὸ ἕκτον, ἐν μηνὶ Μαρτίῳ, νηστειῶν οὐσῶν:

ιϛ ὡς πάλιν Ἰουδαῖοι πρὸς Χριστιανοὺς πόλεμον συμμίξαντες δίκας ἔτισαν:

Ὀλίγον δὲ μετὰ τοῦτον δὲ τὸν χρόνον Ἰουδαῖοι πάλιν ἀπὸ παικτῶν κατὰ Χρι-
στιανῶν πράξαντες, δίκην δεδώκασιν· ἐν Ἰμμεστὰρ οὕτω καλουμένῳ
τόπῳ, ὃς κεῖται μεταξὺ Χαλκίδος καὶ Ἀντιοχείας τῆς ἐν Συρίᾳ, Ἰου-
δαῖοι συνήθως ἑαυτοῖς παιγνία ἐπιτελοῦντες τινά, καὶ πολλὰ ἐν τῷ
παίζειν ἄλογα ποιοῦντες, ὑπὸ μέθης ἐξαχθέντες, Χριστιανούς τε καὶ
αὐτὸν τὸν Χριστὸν ἐν τοῖς παιγνίοις διέσυρον· γελῶντές τε τὸν σταυρὸν καὶ
τοὺς ἐπηλπικότας ἐπὶ τῷ ἐσταυρωμένῳ, καὶ τοιοῦτόν τι ἐπενόησαν·
παιδίον Χριστιανὸν συλλαβόμενοι, σταυρῷ προσδήσαντες ἀπεκρέ-
μασαν· καὶ πρῶτον μὲν καταγελῶντές τε καὶ χλευάζοντες διετέλουν·
μετ' οὐ πολὺ δὲ καὶ τῶν φρενῶν ἐκστάντες, τὸ παιδίον ᾐκίσαντο,
ὥστε καὶ ἀνελεῖν· ἐπὶ τούτῳ χαλεπὴ μὲν συμπληγὰς μεταξὺ αὐτῶν
τε καὶ Χριστιανῶν ἐγένετο· γνώριμον δὲ τοῦτο τοῖς κρατοῦσι κατα-
στάν, ἐπεστάλη τοῖς κατὰ τὴν ἐπαρχίαν ἄρχουσιν, ἀναζητῆσαι τοὺς
αἰτίους καὶ τιμωρήσασθαι· καὶ οὕτως οἱ ἐκεῖ Ἰουδαῖοι δίκην ἔδοσαν
ιζ ὧν παίζοντες ἐκακούργησαν: περὶ Παύλου ἐπισκόπου Ναυατιανῶν
καὶ περὶ τοῦ γεγονότος παραδόξου σημείου ὑπ' αὐτοῦ, μέλλον-
τος βαπτίζειν τὸν ἀπατεῶνα Ἰουδαῖον:

Κατὰ δὲ τὸν χρόνον τόνδε, ὁ τῶν Ναυατιανῶν ἐπίσκοπος Χρύ-
σανθος, ἐπὶ ἑπτὰ ἔτη τῶν ὑπ' αὐτὸν ἐκκλησιῶν προστὰς ἐτελεύ-
τησεν, ἐν ὑπατείᾳ Μοναξίου καὶ Πλίνθα, ἕκτῃ καὶ εἰκάδι τοῦ Αὐγούστου
μηνός· διεδέξατο δὲ τὴν ἐπισκοπὴν Παῦλος· ὃς πρότερον μὲν
λόγων Ῥωμαϊκῶν διδάσκαλος ἦν· μετὰ δὲ ταῦτα πολλὰ χαίρειν τῇ
Ῥωμαϊκῇ φράσει, ἐπὶ τὴν ἄσκησιν ἐτράπη τοῦ βίου· καὶ συστησάμενος
ἀνδρῶν σπουδαίων μοναστήριον, οὐκ ἄλλοις ὥσπερ τῶν ἐν τῇ ἐρ-

http://digital.slub-dresden.de/ppn334880238/494